οὐκ ἀντιδώϲειν τὴν ἐμήν;
(Κα.) αἰϲχρὸν λέγειϲ;
νύμφην γὰρ ἅμα καὶ νυμφίον πτωχοὺϲ λαβεῖν
οὐ βούλομ᾽, ἱκανὸν δ᾽ ἐϲτὶν ἡμῖν θάτερον.
(Ϲω.) περὶ χρημάτων λαλεῖϲ, ἀβεβαίου πράγματοϲ.
εἰ μὲν γὰρ οἶϲθα ταῦτα παραμενοῦντά ϲοι
εἰϲ πάντα τὸν χρόνον, φύλαττε μηδενὶ
τοῦ ϲοῦ μεταδιδούϲ· ὧν δὲ μὴ ϲὺ κύριοϲ
εἶ, μηδὲ ϲαυτοῦ τῆϲ τύχηϲ δὲ πάντ᾽ ἔχειϲ,
μή τι φθονοίηϲ, ὦ πάτερ, τούτων τινί.
αὕτη γὰρ ἄλλωι, τυχὸν ἀναξίωι τινί,
παρελομένη ϲοῦ πάντα προϲθήϲει πάλιν.
διόπερ ἐγώ ϲε φημὶ δεῖν, ὅϲον χρόνον
εἶ κύριοϲ, χρῆϲθαι ϲε γενναίωϲ, πάτερ,
αὐτόν, ἐπικουρεῖν πᾶϲιν, εὐπόρουϲ ποεῖν
ὡϲ ἂν δύνηι πλείϲτουϲ διὰ ϲαυτοῦ. τοῦτο γὰρ
ἀθάνατόν ἐϲτι, κἄν ποτε πταίϲαϲ τύχηιϲ,
ἐκεῖθεν ἔϲται ταὐτὸ τοῦτό ϲοι πάλιν.
πολλῶι δὲ κρεῖττόν ἐϲτιν ἐμφανὴϲ φίλοϲ
ἢ πλοῦτοϲ ἀφανήϲ, ὃν ϲὺ κατορύξαϲ ἔχειϲ.
Κα. οἶϲθ᾽ οἷόϲ εἰμι, Ϲώϲτραθ᾽· ἃ ϲυνελεξάμην
οὐ ϲυγκατορύξω ταῦτ᾽ ἐμαυτῶι—πῶϲ γὰρ ἄν;—
ϲὰ δ᾽ ἐϲτί. βούλει περιποήϲαϲθαί τινα
φίλον δοκιμάϲαϲ· πρᾶττε τοῦτ᾽ ἀγαθῆι τύχηι.
τί μοι λέγειϲ γνώμαϲ; †πόριζε βάδιζε†